ἐπεί γε μὴν ἐκεῖνος ἔπεσεν, οἱ 25
λοιποὶ οὐδὲ τῇ νίκῃ ὀρθῶς ἔτι ἐδυνάσθησαν χρήσασθαι,
ἀλλὰ φυγούσης μὲν αὐτοῖς τῆς ἐναντίας φάλαγγος οὐδένα
ἀπέκτειναν οἱ ὁπλῖται οὐδὲ προῆλθον ἐκ τοῦ χωρίου ἔνθα
ἡ συμβολὴ ἐγένετο. φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων,
ἀπέκτειναν μὲν οὐδ' οἱ ἱππεῖς διώκοντες οὔτε ἱππέας οὔθ'
ὁπλίτας, ὥσπερ δὲ ἡττώμενοι πεφοβημένως διὰ τῶν φευ-
γόντων πολεμίων διέπεσον. καὶ μὴν οἱ ἅμιπποι καὶ οἱ
πελτασταὶ συννενικηκότες τοῖς ἱππεῦσιν ἀφίκοντο μὲν ἐπὶ
τοῦ εὐωνύμου, ὡς κρατοῦντες, ἐκεῖ δ' ὑπὸ τῶν Ἀθηναίων
οἱ πλεῖστοι αὐτῶν ἀπέθανον.
Τούτων δὲ πραχθέντων τοὐναντίον ἐγεγένητο οὗ ἐνό- 26
μισαν πάντες ἄνθρωποι ἔσεσθαι. συνεληλυθυίας γὰρ
σχεδὸν ἁπάσης τῆς Ἑλλάδος καὶ ἀντιτεταγμένων, οὐδεὶς
ἦν ὅστις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας
ἄρξειν, τοὺς δὲ κρατηθέντας ὑπηκόους ἔσεσθαι· ὁ δὲ θεὸς

12 ἑαυτοῖς CU αὐτῆς F² 13 προῆλθεν V προσῆλθον CFU 15 οἱ om. CU 16 δὴ C ἡττημένοι Cob. 18 νενικηκότες F συνενοηκότες CU 22 πάντες οἱ DU συνεληλυθείας (?) P γὰρ V δὴ U δὲ rell. 23 post ἀντιτεταγμένων lacunam statuit Weiske 24 ἦν del. Cob.

οὕτως ἐποίησεν ὥστε ἀμφότεροι μὲν τροπαῖον [ὡς νενικη-
κότες] ἐστήσαντο, τοὺς δὲ ἱσταμένους οὐδέτεροι ἐκώλυον,
νεκροὺς δὲ ἀμφότεροι μὲν ὡς νενικηκότες ὑποσπόνδους ἀπέ-
δοσαν, ἀμφότεροι δὲ ὡς ἡττημένοι ὑποσπόνδους ἀπελάμ-
27 βανον, νενικηκέναι δὲ φάσκοντες ἑκάτεροι οὔτε χώρᾳ οὔτε
πόλει οὔτ' ἀρχῇ οὐδέτεροι οὐδὲν πλέον ἔχοντες ἐφάνησαν
ἢ πρὶν τὴν μάχην γενέσθαι· ἀκρισία δὲ καὶ ταραχὴ ἔτι
πλείων μετὰ τὴν μάχην ἐγένετο ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι.
ἐμοὶ μὲν δὴ μέχρι τούτου γραφέσθω· τὰ δὲ μετὰ ταῦτα
ἴσως ἄλλῳ μελήσει.

1 οὗτος U μὲν om. CU ὡς νενικηκότες ante τρόπαιον (sic codd. fere) CU, del. Cob. 3 ἀμφό] desinit H μὲν om. CM 9 γεγράφθω Leoncl.

# *ΕΚ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΚΑΙ ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΕΝ ΜΑΝΤΙΝΕΙΑ ΜΑΧΗΝ ΕΝ ΚΕΦΑΛΑΙΟΙΣ ΔΙΑΛΗΨΙΣ*

**Μετὰ τὴν ἐν Μαντινείᾳ μάχην, ἐν ᾗ Ἐπαμυνώνδας ὁ Θηβαῖος βοιωταρ- 1**
**χῶν τε καὶ τὴν μάχην ἐκείνην ἐστρατηγηκὼς ἐτελεύτησεν, οἱ μὲν Ἕλληνες,**
**κεκακωμένοι τῷ μήκει τῶν πολέμων, εἰρήνην πρὸς ἀλλήλους συνέθεν-**
**το, συμπεριλαμβάνοντες ταῖς κοιναῖς ὁμολογίαις καὶ Μεσσήνην·**
**Λακεδαιμόνιοι δὲ, οὐκ ἀνασχόμενοι καὶ πρὸς Μεσσηνίους εἰρήνην**
**συνθέσθαι, ταύτης γε οὐ μετέσχον τῆς εἰρήνης, ἀλλὰ μόνοι δὴ Ἑλλήνων**
**ἔκσπονδοι ἐλείφθησαν. μετὰ δὲ ταῦτα οἱ τὴν παράλιον οἰκοῦντες τῆς 2**
**Ἀσίας ἀπέστησαν ἀπὸ Περσῶν καὶ Ἀρταξέρξου τοῦ βασιλέως, καί τινες**
**δὲ σὺν αὐτοῖς τῶν σατραπῶν ἐπαναστάντες πόλεμον ἐξήνεγκαν πρὸς**
**βασιλέα. ὧν ἦσαν ἐπιφανέστατοι Ἀριοβαρζάνης μὲν ὁ τῆς Φρυγίας 3**
**σατράπης, ὃς καὶ Μιθριδάτου τελευτήσαντος τῆς τούτου βασιλείας κε-**
**κυριευκὼς ἦν, Μαύσωλος δὲ Καρίας δυναστεύων καὶ πολλῶν ἐρυμάτων**
**καὶ πόλεων ἀξιολόγων κυριεύων, ὧν ἑστίαν καὶ μητρόπολιν συνέβαινεν**
**εἶναι τὴν Ἀλικαρνασόν, πρὸς δὲ τούτοις Ὀρόντης μὲν Μυσίας σατράπης,**
**Αὐτοφραδάτης δὲ Λυδίας. ἀλλ' οὗτοι μὲν οἱ λόγου μάλιστα ἄξιοι τῶν**
**ἀποστάντων σατραπῶν. ἔθνη δ' ἀπέστη Ἴωνες, Λύκιοι, Πισίδαι, Παμ- 4**
**φύλιοι, Κίλικες, Σύροι, Φοίνικες καὶ σχεδὸν πάντες οἱ παραθαλάττιοι.**
**Αἰγύπτιοι δὲ προαφεστηκότες ἦσαν ὑπὸ Ἀκόριδος.**
**Τότε δὲ Ταχὼς μὲν ἦρχε τῆς Αἰγύπτου, παρεσκευάζετο δὲ καὶ οὗτος 2**
**ἐς δύναμιν καὶ ναυσὶ καὶ πεζῷ ἐπὶ τὸν πρὸς Πέρσας πόλεμον.**

1 c. 1 Diod. 15, 85–87. 89, 1–2. 90, 1–3 || 18 Diod. 15, 29, 1–2 || 19 c. 2 Diod. 15, 90, 2. 91, 1. 92, 1

tit. M Gemisti manu || 1 ἐπαμυνώνδας M, quasi cum ἐπαμύνω, ἐπαμύντωρ sim. adfinitate coniunctum Ἐπαμεινώνδας Diod. ed. || 9 σὺν ras. M | εξήνεγκαν M || 14 ἀλικαρνασόν M